1.33.

4 Μὴ διαγέτω τινὰ τῶν ἐπαρχεωτῶν προφάσει δημοσίων πραγμάτων ὁ κόμης τῆς ἰδικῆς περιουσίας δίχα θείας ἐπιτροπῆς μηδὲ τῷ μηνύοντι τὴν κρίσιν καταπιστευέτω τοῦ πράγματος.

*id est:*

Ne quem provincialium sub praetextu rerum fiscalium comes rerum privatarum sine sacro mandato deducat neve delatori causae cognitionem committat.

1.33.

5 Μήτε ὁ κόμης τῆς ἰδικῆς περιουσίας μήτε τις ἕτερος τῶν ἐν Κωνσταντινουπόλει ἢ ἐν ταῖς ἐπαρχίαις ἀρχόντων τὸν περὶ θησαυροῦ καταμηνύοντα προσδεχέσθω. εἰ δὲ περί τινος ἑτέρου προσαγγέλλει, ὑπὸ ἐγγύην εὐθὺς οὐχ ἧττον πέντε λιτρῶν γινέσθω· καὶ μηδέ τις σφραγὶς ἢ ἀναγραφὴ καὶ καινισμὸς ὁ τυχὼν ἐπὶ τοῖς προσαγγελθεῖσι προσερχέσθω πράγμασι πρὸ διακρίσεως ἐγγράφου. καὶ εἰ μὲν ὁ κατηγορούμενος πάρεστι, κρινέσθω παρὰ τῷ κόμητι τῆς ἰδικῆς περιουσίας τὸ πρᾶγμα, εἰ δὲ ἐν ἐπαρχίᾳ διάγει, παρὰ τῷ ἄρχοντι ἢ τῷ ἀφοριζομένῳ δικαστῇ, τῶν φισκοσυνηγόρων ἤ, ἐν ἀπορίᾳ τούτων, ἑτέρων ὑπὲρ τοῦ κατηγόρου προῖκα λεγόντων. γινέσθω δὲ τῶν συνηγόρων ἐξίσωσις καὶ ἀναιρείσθω τὸ καὶ τὰ ὑπὲρ τοῦ κατηγόρου δαπανήματα τὸν ἐναγόμενον ποιεῖν· τούτου φυλαττομένου καὶ ἐπὶ τοῦ δίκας τινὰς τῷ φίσκῳ κινοῦντος. καὶ μηδεὶς αὐτῶν πρὸ τελείας ἐκκαλείσθω τοῦ πράγματος κρίσεως.

*id est:*

Neve comes rerum privatarum neve quis alius magistratuum, qui Constantinopoli quive m provinciis sunt, de thesauro deferentem admittat: sin autem de alia re defert, statim fideiussioni non minus quinque librarum subiciatur:
neve signatio vel descriptio vel forte innovatio in rebus denuntiatis ante sententiam in scriptis latam procedat,
et si quidem accusator praesens est, apud comitem rerum privatarum causa iudicetur, sin in provincia moratur, apud praesidem vel iudicem delegatum, ut fisci advocati vel iis deficientibus alii gratis pro accusatore causam dicant, fiat autem advocatorum exaequatio, neve amplius reus sumptus quae pro accusatore fiunt dependat, hoc observetur etiam adversus eum, qui lites aliquas fisco movet, neve quis eorum ante definitivam causae decisionem provocet.